# ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

1 ΚΑΙ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς
τοὺς πατέρας αὐτοῦ, καὶ παρέλαβε Κῦρος ὁ
Πέρσης τὴν βασιλείαν αὐτοῦ.
2 καὶ ἦν Δανιὴλ συμβιωτὴς τοῦ βασιλέως
καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ.
3 καὶ ἦν εἴδωλον τοῖς Βαβυλωνίοις, ᾧ
ὄνομα Βήλ, καὶ ἐδαπανῶντο εἰς αὐτὸν
ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι δώδεκα
καὶ πρόβατα τεσσαράκοντα καὶ οἴνου
μετρηταὶ ἕξ.
4 καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτὸν καὶ
ἐπορεύετο καθ' ἑκάστην ἡμέραν προσκυνεῖν
αὐτῷ· Δανιὴλ δὲ προσεκύνει τῷ Θεῷ αὐτοῦ.
καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· διατί οὐ
προσκυνεῖς τῷ Βήλ;
5 ὁ δὲ εἶπεν· ὅτι οὐ σέβομαι εἴδωλα
χειροποίητα, ἀλλὰ τὸν ζῶντα Θεὸν τὸν
κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
ἔχοντα πάσης σαρκὸς κυριείαν.
6 καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· οὐ δοκεῖ σοι
Βὴλ εἶναι ζῶν θεός; ἢ οὐχ ὁρᾷς ὅσα ἐσθίει
καὶ πίνει καθ' ἑκάστην ἡμέραν;
7 καὶ εἶπε Δανιὴλ γελάσας· μὴ πλανῶ,
βασιλεῦ· οὗτος γὰρ ἔσωθεν μέν ἐστι πηλὸς
ἔξωθεν δὲ χαλκὸς καὶ οὐ βέβρωκεν οὐδὲ
πέπωκε πώποτε.

8 θυμωθεὶς δὲ ὁ βασιλεὺς ἐκάλεσε τοὺς
ἱερεῖς αὐτοῦ καὶ εἶπεν αὐτοῖς· ἐὰν μὴ εἴπητέ
μοι τίς ὁ κατέσθων τὴν δαπάνην ταύτην,

9 ἀποθανεῖσθε. ἐὰν δὲ δείξητε ὅτι Βὴλ
κατεσθίει αὐτά, Δανιὴλ ἀποθανεῖται, ὅτι
ἐβλασφήμησεν εἰς τὸν Βήλ. καὶ εἶπε Δανιὴλ
τῷ βασιλεῖ· γινέσθω κατὰ τὸ ρῆμά σου.

10 καὶ ἦσαν ἱερεῖς τοῦ Βὴλ ἑβδομήκοντα
ἐκτὸς γυναικῶν καὶ τέκνων. καὶ ἦλθεν ὁ
βασιλεὺς μετὰ Δανιὴλ εἰς τὸν οἶκον τοῦ Βήλ.

11 καὶ εἶπαν οἱ ἱερεῖς τοῦ Βήλ· ἰδοὺ ἡμεῖς
ἀποτρέχομεν ἔξω, σὺ δέ, βασιλεῦ, παράθες τὰ
βρώματα καὶ τὸν οἶνον κεράσας θὲς καὶ
ἀπόκλεισον τὴν θύραν καὶ σφράγισον τῷ
δακτυλίῳ σου· καὶ ἐλθὼν πρωΐ, ἐὰν μὴ εὕρῃς
πάντα βεβρωμένα ὑπὸ τοῦ Βήλ,
ἀποθανούμεθα ἢ Δανιὴλ ὁ ψευδόμενος καθ'
ἡμῶν.

12 αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεισαν
ὑπὸ τὴν τράπεζαν κεκρυμμένην εἴσοδον καὶ
δι' αὐτῆς εἰσεπορεύοντο διόλου καὶ ἀνήλουν
αὐτά.

13 καὶ ἐγένετο ὡς ἐξήλθοσαν ἐκεῖνοι, καὶ ὁ
βασιλεὺς παρέθηκε τὰ βρώματα τῷ Βήλ.

14 καὶ ἐπέταξε Δανιὴλ τοῖς παιδαρίοις
αὐτοῦ καὶ ἤνεγκαν τέφραν καὶ κατέστρωσαν
ὅλον τὸν ναὸν ἐνώπιον τοῦ βασιλέως μόνου·
καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύραν καὶ
ἐσφραγίσαντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως,
καὶ ἀπῆλθον.

15 οἱ δὲ ἱερεῖς ἦλθον τὴν νύκτα κατὰ τὸ
ἔθος αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ
τέκνα αὐτῶν καὶ κατέφαγον πάντα καὶ
ἐξέπιον.

16 καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωΐ καὶ
Δανιὴλ μετ' αὐτοῦ.

17 καὶ εἶπεν ὁ βασιλεύς· σῷοι αἱ σφραγῖδες,
Δανιήλ; ὁ δὲ εἶπε· σῷοι, βασιλεῦ.

18 καὶ ἐγένετο ἅμα τῷ ἀνοῖξαι τὰς θύρας,
ἐπιβλέψας ἐπὶ τὴν τράπεζαν ὁ βασιλεὺς
ἐβόησε φωνῇ μεγάλῃ· μέγας εἶ, Βήλ, καὶ οὐκ
ἔστι παρὰ σοὶ δόλος οὐδὲ εἷς.

19 καὶ ἐγέλασε Δανιὴλ καὶ ἐκράτησε τὸν
βασιλέα τοῦ μὴ εἰσελθεῖν αὐτὸν ἔσω καὶ
εἶπεν· ἰδὲ δὴ τὸ ἔδαφος καὶ γνῶθι τίνος τὰ
ἴχνη ταῦτα.

20 καὶ εἶπεν ὁ βασιλεύς· ὁρῶ τὰ ἴχνη
ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων.

21 καὶ ὀργισθεὶς ὁ βασιλεὺς τότε συνέλαβε
τοὺς ἱερεῖς καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα
αὐτῶν, καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας,
δι' ὧν εἰσεπορεύοντο καὶ ἐδαπάνων τὰ ἐπὶ
τῆς τραπέζης.

22 καὶ ἀπέκτεινεν αὐτοὺς ὁ βασιλεὺς καὶ
ἔδωκε τὸν Βὴλ ἔκδοτον τῷ Δανιήλ, καὶ
κατέστρεψεν αὐτὸν καὶ τὸ ἱερὸν αὐτοῦ.

23 Καὶ ἦν δράκων μέγας, καὶ ἐσέβοντο
αὐτὸν οἱ Βαβυλώνιοι.

24 καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· μὴ καὶ
τοῦτον ἐρεῖς ὅτι χαλκοῦς ἐστιν; ἰδοὺ ζῇ καὶ

ἐσθίει καὶ πίνει· οὐ δύνασαι εἰπεῖν ὅτι οὐκ ἔστιν οὗτος θεὸς ζῶν, καὶ προσκύνησον αὐτῷ.

25 καὶ εἶπε Δανιήλ· Κυρίῳ τῷ Θεῷ μου
προσκυνήσω, ὅτι οὗτός ἐστι Θεὸς ζῶν·
26 σὺ δέ, βασιλεῦ, δός μοι ἐξουσίαν, καὶ
ἀποκτενῶ τὸν δράκοντα ἄνευ μαχαίρας καὶ ράβδου. καὶ εἶπεν ὁ βασιλεύς· δίδωμί σοι.
27 καὶ ἔλαβεν ὁ Δανιὴλ πίσσαν καὶ στέαρ
καὶ τρίχας καὶ ἥψησεν ἐπὶ τὸ αὐτὸ καὶ ἐποίησε μάζας καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος, καὶ φαγὼν διερράγη ὁ δράκων. καὶ εἶπεν· ἴδετε τά σεβάσματα ὑμῶν.
28 καὶ ἐγένετο ὡς ἤκουσαν οἱ Βαβυλώνιοι,
ἠγανάκτησαν λίαν καὶ συνεστράφησαν ἐπὶ τὸν βασιλέα καὶ εἶπαν· Ἰουδαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βὴλ κατέσπασε καὶ τὸν δράκοντα ἀπέκτεινε καὶ τοὺς ἱερεῖς κατέσφαξε.

29 καὶ εἶπαν ἐλθόντες πρὸς τὸν βασιλέα·
παράδος ἡμῖν τὸν Δανιήλ· εἰ δὲ μή, ἀποκτενοῦμέν σε καὶ τὸν οἶκόν σου.

30 καὶ εἶδεν ὁ βασιλεὺς ὅτι ἐπείγουσιν
αὐτὸν σφόδρα, καὶ ἀναγκασθεὶς ὁ βασιλεὺς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ.
31 οἱ δὲ ἔβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν
λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ.

32 ἦσαν δὲ ἐν τῷ λάκκῳ ἑπτὰ λέοντες, καὶ
ἐδίδοτο αὐτοῖς τὴν ἡμέραν δύο σώματα καὶ δύο πρόβατα· τότε δὲ οὐκ ἐδόθη αὐτοῖς, ἵνα

καταφάγωσι τὸν Δανιήλ.
33 καὶ ἦν Ἀμβακοὺμ ὁ προφήτης ἐν τῇ
Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα καὶ
ἐνέθρυψεν ἄρτους εἰς σκάφην καὶ ἐπορεύετο
εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς θερισταῖς.
34 καὶ εἶπεν ὁ ἄγγελος Κυρίου τῷ
Ἀμβακούμ· ἀπένεγκε τὸ ἄριστον, ὃ ἔχεις, εἰς
Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν
λεόντων.
35 καὶ εἶπεν Ἀμβακούμ· Κύριε, Βαβυλῶνα
οὐχ ἑώρακα καὶ τὸν λάκκον οὐ γινώσκω.
36 καὶ ἐπελάβετο ὁ ἄγγελος Κυρίου τῆς
κορυφῆς αὐτοῦ καὶ βαστάσας τῆς κόμης τῆς
κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα
ἐπάνω τοῦ λάκκου ἐν τῷ ροίζῳ τοῦ
πνεύματος αὐτοῦ.
37 καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων· Δανιὴλ
Δανιήλ, λαβὲ τὸ ἄριστον, ὃ ἀπέστειλέ σοι ὁ
Θεός.
38 καὶ εἶπε Δανιήλ· ἐμνήσθης γάρ μου, ὁ
Θεός, καὶ οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς
σε.
39 καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν· ὁ δὲ
ἄγγελος τοῦ Θεοῦ ἀποκατέστησε τὸν
Ἀμβακοὺμ παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ.
40 ὁ δέ βασιλεὺς ἦλθε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ
πενθῆσαι τὸν Δανιήλ· καὶ ἦλθεν ἐπὶ τὸν
λάκκον καὶ ἐνέβλεψε, καὶ ἰδοὺ Δανιὴλ
καθήμενος.
41 καὶ ἀναβοήσας φωνῇ μεγάλῃ εἶπε· μέγας
εἶ, Κύριε ὁ Θεὸς τοῦ Δανιήλ, καὶ οὐκ ἔστιν

ἄλλος πλὴν σοῦ.
42 καὶ ἀνέσπασεν αὐτόν, τοὺς δὲ αἰτίους
τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν
λάκκον, καὶ κατεβρώθησαν παραχρῆμα
ἐνώπιον αὐτοῦ.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a